μὲν καὶ τὴν οἰκείαν χώραν ἀπολέσωμεν πρὸς τῇ
Κορινθίων, νικήσαντες δὲ τὴν Κορινθίων Ἀργείων
27 ποιήσωμεν. οὐχ ἕνεκα τούτων πολεμήσομεν; Σκεψώ-
μεθα δὴ καὶ τοὺς Ἀργείων λόγους. κελεύουσι γὰρ
ἡμᾶς κοινῇ μετὰ σφῶν καὶ μετὰ Κορινθίων πολε-
μεῖν, αὐτοὶ δ' ἰδίᾳ εἰρήνην ποιησάμενοι τὴν χώραν
οὐ παρέχουσιν ἐμπολεμεῖν. καὶ μετὰ μὲν πάντων
τῶν συμμάχων τὴν εἰρήνην ποιουμένους οὐκ ἐῶσιν
ἡμᾶς οὐδὲν πιστεύειν Λακεδαιμονίοις· ἃ δὲ πρὸς
τούτους μόνους ἐκεῖνοι συνέθεντο, ταῦτα δ' οὐδεπώ-
ποτ' αὐτούς φασι παραβῆναι. πατρίαν τε εἰρήνην
ὀνομάζοντες ᾗ χρῶνται, τοῖς [δὲ] ἄλλοις Ἕλλησιν
27 οὐκ ἐῶσι πατρίαν | γενέσθαι τὴν εἰρήνην· ἐκ γὰρ
τοῦ πολέμου χρονισθέντος Κόρινθον ἑλεῖν προσ-
δοκῶσι, κρατήσαντες δὲ τούτων ὑφ' ὧν ἀεὶ κρα-
τοῦνται, καὶ τοὺς συννικῶντας ἐλπίζουσι παραστή-
σεσθαι.
28 Τοιούτων δ' ἐλπίδων μετασχόντας ἡμᾶς δεῖ δυοῖν
θάτερον ἑλέσθαι, ἢ πολεμεῖν μετὰ Ἀργείων Λακε-
δαιμονίοις, ἢ μετὰ Βοιωτῶν κοινῇ τὴν εἰρήνην ποιεῖ-
σθαι. ἐγὼ μὲν οὖν ἐκεῖνο δέδοικα μάλιστα, ὦ ⟨ἄνδρες⟩
Ἀθηναῖοι, τὸ εἰθισμένον κακόν, ὅτι τοὺς κρείττους
φίλους ἀφιέντες ἀεὶ τοὺς ἥττους αἱρούμεθα, καὶ
πόλεμον ποιούμεθα δι' ἑτέρους, ἐξὸν δι' ἡμᾶς
29 αὐτοὺς εἰρήνην ἄγειν· οἵτινες πρῶτον μὲν βασιλεῖ

ἀπωλέσομεν A. — ποιήσομεν A Q (corr. apogr.). — πολεμήσωμεν A Q (corr. Ald.).

27. ἐμπολεμεῖν] μ a corr. habet A (ν fuisse vid.), ἐνπολεμεῖν Q. — ποιουμένους R.: ποιουμένοις (Bk. Turr.). — λακεδαιμονίους pr. Q. — ταῦτα δ' Q L: ταῦτ' A, cf. 34. — φησὶ A. — πατρίαν τε Q: π. δὲ. cf. 7. 9. 30. 33. (39.) 40. — δὲ ante ἄλλοις del. R. Hi. — συνικῶντας Q. — ἐλπίζουσι παραστήσεσθαι cum R. Bk.: ἐλπίζουσιν (-σι A) ἀποστήσεσθαι.

28. μάλιστα om. Q. — ἡρούμεθα Q corr.